ΜΥΡΣΩΝ

κρίνειν οὐκ ἐπέοικε θεήια ἔργα βροτοῖσι,
πάντα γὰρ ἱερὰ ταῦτα καὶ ἁδέα· σεῦ δὲ ἕκατι
ἐξερέω, Κλεόδαμε, τό μοι πέλεν ἅδιον ἄλλων.
οὐκ ἐθέλω θέρος ἦμεν, ἐπεὶ τόκα μ' ἅλιος ὀπτῇ·
οὐκ ἐθέλω φθινόπωρον, ἐπεὶ νόσον ὥρια τίκτει.
οὖλον χεῖμα φέρει νιφετόν, κρυμὼς δὲ φοβεῦμαι
εἶαρ ἐμοὶ τριπόθητον ὅλῳ λυκάβαντι παρείη,
ἁνίκα μήτε κρύος μήθ' ἅλιος ἄμμε βαρύνει.
εἴαρι πάντα κύει, πάντ' εἴαρος ἁδέα βλαστεῖ,
χἀ νὺξ ἀνθρώποισιν ἴσα καὶ ὁμοίιος ἀώς.

## III (XVI)

Μοίσας Ἔρως καλέοι, Μοῖσαι τὸν Ἔρωτα φέροιεν.
μολπὰν ταὶ Μοῖσαί μοι ἀεὶ ποθέοντι διδοῖεν,
τὰν γλυκερὰν μολπάν, τᾶς φάρμακον ἅδιον οὐδέν.

## IV (I)

Ἐκ θαμινᾶς ῥαθάμιγγος, ὅπως λόγος, αἰὲς ἰοίσας
χἀ λίθος ἐς ῥωχμὸν κοιλαίνεται.

## V (II)

Οὐ καλόν, ὦ φίλε, πάντα λόγον ποτὶ τέκτονα φοιτῆν,
μηδ' ἐπὶ πάντ' ἄλλω χρέος ἰσχέμεν· ἀλλὰ καὶ αὐτὸς
τεχνᾶσθαι σύριγγα, πέλει δέ τοι εὐμαρὲς ἔργον.